# 23 MAI
# ANTONIOS MARKOU

# PARACLISUL SF.CUVIOASE EUFROSINA DE LA POLOȚK




## PARACLISIERUL PE MAI-GR

www.tezaurliturgic.ro



# 23 Μαΐου

# Παρακλητικός Κανών Ὁσίας ΕΥΦΡΟΣΥΝΗΣ τοῦ Πολότσκ

## Ποίημα Ἀντώνιος Μάρκου

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Ταῖς τῆς Ὁσίας ἱκεσίαις, Οἰκτῖρμον,* τῆς Εὐφροσύνης τῆς ἐν Πολότσκ ἀσκησάσης,* τῆς ἐν Ῥωσίᾳ μητρός ἡμῶν τῆς θαυματουργοῦ,* πέμψον τά ἐλέη Σου
ἐπί λαόν ἀσεβοῦντα* καί παραπικραίνοντα*
Σέ τόν τῶν ὅλων Δεσπότην.*
Αὕτην προσάγωμεν γάρ ὡς πρεσβευτήν,*
ὡς κεκτημένην* τήν χάριν Σου, Κύριε.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Τῇ Θεοτόκῳ ὡς μητρί ἐκβοῶμεν*
οἱ τυραννούμενοι ἐχθροῦ δυναστείᾳ,* τῇ θεϊκῇ Σου σκέπασον ἀγάπῃ ἡμᾶς·* σπεῦσον, Κόρη, ῥύσασθαι* τῶν τοῦ Βελίαρ παγίδων* καί τῆς καταθλίψεως* καί τῆς δαιμόνων μανίας·* Σοῦ γάρ ὑπάρχει ἡ Εἰκών ἡ τοῦ Καζάν,* ἡ ἐν Ῥωσίᾳ,* ἡμῶν ἡ ἀντίληψις.

Ὁ Ν΄ (50) Ψαλμός.

Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς· *ΕΥΦΡΟΣΥΝῌ ΟΣΙᾼ ΥΜΝΟΣ ΑΔΕΤΑΙ. ΑΝΤΩΝΙΟΥ.*

## ᾨδή α΄. Ἦχος δ΄. Ἀνοίξω τό στόμα μου.

Ἐπίβλεψον Κύριε* καί Βασιλεῦ πάσης κτίσεως,* Θεέ Πολυέλεε,* τῶν ἀγαθῶν χορηγέ,* ὁ δωρούμενος* γνῶσιν ἡμῖν τοῖς ἀσόφοις,* καί νοῦν μου καταύγασον* τῇ εὐσπλαχνίᾳ Σου.

Φωτός νῦν πεπλήρωται* ναός καί θήκη ἡ πάντιμος* τῶν θείων λειψάνων σου,* ἅ πᾶσι πρόκεινται,* εἰς ἰατήριον·* διό νῦν ἐκβοῶμεν,* Εὐφροσύνης δέησιν,* ἐνωτίζου Φιλάνθρωπε.

Ῥεόντων νικήσασα,* τῇ δυνάμει τοῦ Πνεύματος,* καί κόσμου τό δέλεαρ* καί τό τῆς θέσεως,* ὅτε κατέλειπες* Πριγκίπων θρόνον καί δόξαν,* Ἀγγέλων ζηλώσασα* τόν βίον, πάνσεμνε.

Θεοτοκίον.

Ὁλοκλήρως ἡ πρόῤῥησις,* τοῦ Ἠσαΐου πεπλήρωται* ἐπί Σοί Ἀειπάρθενε·* ὅθεν τιμῶμεν πιστοί,* Σέ τήν κυήσασαν* Υἱόν Πατρός εὐδοκίᾳ,* ὅτε Πνεῦμα Ἅγιον* ἐν Σοί ἐσκήνωσεν.

## ᾨδή γ΄. Τούς Σούς ὑμνολόγους.

Σεμνότης, εὐγένεια καί ἦθος* ἐκόσμησαν σήν θεῖαν βιοτήν,* τήν ἐν τῷ κόσμῳ, πάνσεμνε* Λευκορωσίας καύχημα·* διό ἐξ ὕψους δός ἡμῖν,* Μῆτερ Ὁσία, τά πρόσφορα.

Ὑμνῆσαι συνέρχονται τά πλήθη* σήν μνήμην καί τά ἱερά* προσψαῦσαι, Μῆτερ, λείψανα* τά ἐν Πολότσκ τηρούμενα* καί πάντες, Κόρη, χαίροντες* πόθῳ κυκλοῦσι σήν λάρνακα.

Ναόν σε τοῦ Πνεύματος εὑρόντες* οἱ ἐν κόσμῳ, αἰτούμεθα, ἁγνή,* σαῖς ἱκεσίαις λύτρωσιν* ἀπό παθῶν καί θλίψεων,* τῆς εὐσεβείας καλλονήν* σέ Εὐφροσύνην γινώσκοντες.

Θεοτοκίον.

Ἡ δόξα ἡ Σῇ Θεοκυήτωρ,* μεγίστῃ ἐφάνη ἐν τῇ γῇ·* διό τόν ὕμνον πρόσδεξαι,* τόν ταπεινόν καί ἄσημον* καί Σαῖς πρεσβείαις οἴκτιρον* τούς μελωδοῦντας τόν ὕμνον Σου.

Διάσωσον* ταῖς τῆς Ὁσίας πρεσβείαις Παντελεήμον,* ὅτι πάντες κατόπιν Σοῦ αὐτῇ καταφεύγομεν,* ὡς ἐχούσης τήν πρός Σέ παῤῥησίαν.

Ἐπίβλεψον* ἐπικαμπτόμενος Θεοτόκου* καί τῆς Ὁσίας ταῖς λιταῖς Οἰκτῖρμον,* ἐφ' ἡμᾶς τούς ἀσθενεῖς* καί λύτρωσαι τόν λαόν Σου.

Κάθισμα. Ἦχος β΄. Τά ἄνω ζητῶν.

Καζάν τῇ σεπτῇ* Εἰκόνι νῦν προσπίπτωμεν,* οἱ ἐν πόνοις ψυχῆς* καί θλίψεσι ὑπάρχοντες·* καί δι' αὐτῆς αἰτούμεθα* τῆς Θεοτόκου τό ἄμετρον ἔλεος* καί τήν ταχεῖαν Ταύτης συνδρομήν,* Εὐφροσύνης ἱκεσίαις τῆς θεόφρονος.

Ὠδή δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ὅλη ὀφθεῖσα θεοφόρος* παρά Κυρίου σοί δέδοται* τό θαυματουργίας* χάρισμα, ὦ Μῆτερ θεόκλητε·* δι' οὗ ἐλέησον πάντας τούς προσπίπτοντας* τῇ σῇ χάριτι* καί τῇ σορῷ τῶν λειψάνων σου.

Σέ τιμῶντες, μακαρία,* ὡς τοῦ Κυρίου θεράπαινα,* χαίροντες προσπίπτομεν πόθῳ* τῷ σῷ σεπτῷ ἀποτμήματι* τῷ δωρηθέντι εὐδοκία σῇ, πανόλβιε,* εἰς ἀνάψυξιν,* παρηγορίαν καί στήριγμα.

Ἰατρεῖον ἀνεδείχθη* ἐν Πολότσκ τῷ τεμένει σου,* ἔνθα τῶν καμνόντων πλήθη* πίστει προσέρχεται· στήριγμα* τῶν τρυχομένων ὑπάρχουσα, θεότιμε,* πάντας στήριξον* καί ὑγιεῖς διατήρησον.

Θεοτοκίον.

Ἀπαύστως μέν, ὦ Θεοτόκε,* Σέ ἀνυμνοῦντες οὐ παύομεν·* Σύ δέ σπεῦσον μεσιτεῦσαι* τῷ Σῷ Υἱῷ ὑπέρ ἄρσεως,* τοῦ βαρέος ζυγοῦ τῆς προαιρέσεως,* Ἀπειρόγαμε,* τῆς φερούσης πρός τά κάτω.

Ὠδή ε΄. Ἐξέστη τά σύμπαντα.

Ὕψος θεῖον σε κέκτηται,* Πολότσκ ἡ πόλις καί ἅπασα,* γῆ ἡ εὐκλεής Λευκορωσίας·* πέφηνας γάρ τούτων στηριγμὸς,* θαυμάτων ποικίλων πακτωλός,* τῶν καταφευγόντων νῦν* τῷ σῷ ναῷ καί τῇ λάρνακι.-

Μένει φωσφόρος ὁ Ἥλιος,* Χριστὸς ἐν τῇ καρδίᾳ σου,* ὦ σωφρονεστάτη Εὐφροσύνη,* ἠλλοίωσέ σε, ταῖς θεϊκαῖς ἀστραπαῖς,* ἐξ ὧν ἀνεδείχθης παμφαῶς,* φωτεινὸν ἀνάκτορον·* διό ἐλέησον ἅπαντας.

Θεοτοκίον.

Ναός καί παλάτιον,* τοῦ Βασιλέως ὑπάρχουσα,* Κόρη οὐρανῶν ὑψηλοτέρα,* δέχου τόν ὕμνον,* σκέπε

ἀεὶ νοητῶς,* ἐμὴν ἀθλιωτάτην βιοτήν,* ἵνα μακαρίζω Σε* καὶ κηρύττω Σὸν ἔλεος.

Ὠδή στ᾽. Τήν θείαν ταύτην.

Ὁ χρόνος βίου συντέτμηται,* ἡ ὥρα τοῦ θανάτου ἐγγύτερον,* ἦλθεν θεότιμε·* διὸ παράσχου μοι ἄφεσιν* πολλῶν ἁμαρτημάτων* ταῖς ἱκεσίαις Σου.

Σειρά θαυμάτων σου ἔφερεν* Ῥωσίας Ἐκκλησίαν κ ηρύξαι σου,* ἅπαν τό πλήρωμα,* ἐπ᾽ ἐκκλησίαις, Πολότσκαγια* τήν ἁγιότητα, Κόρη,* Παρθένε πάνσεμνε.

Ἀρχή τῆς Ἐκκλησίας ἐκύρωσεν,* λαοῦ τήν εὐσεβῆ διαπίστωσιν* σῆς ἁγιότητος,* ἥν διεκήρυξε σύμπασα* Ῥωσίας Ἐκκλησία * Εὐφροσύνη τιμῶσα σε.

Θεοτοκίον.

Δεόμεθα κλύδωνος λύτρωσαι,* τοῦ θείου φωτισμοῦ καταξίωσον,* δώρησαι ἄφεσιν,* τῷ ἐν πολλοῖς παροργίζοντι* τόν Σόν Υἱόν Παρθένε,* ἡμῶν δὲ Κύριον.

Διάσωσον* ταῖς τῆς Ὁσίας πρεσβείαις Παντελεήμον,* ὅτι πάντες κατόπιν Σοῦ αὐτῇ καταφεύγομεν,* ὡς ἐχούσης τήν πρός Σέ παῤῥησίαν.

Ἐπίβλεψον* ἐπικαμπτόμενος Θεοτόκου* καὶ τῆς Ὁ σίας ταῖς λιταῖς Οἰκτῖρμον,* ἐφ᾽ ἡμᾶς τούς ἀσθενεῖς* καὶ λύτρωσαι τόν λαόν Σου.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ. Ἀθανασίου Ἱερομ. Σιμωνοπετρίτου.

Τὰς κοσμικὰς διαφυγοῦσα παγίδας,* λιμένα εὗρες τὸν μονότροπον βίον,* εὐχὴν τὴν ἀδιάλειπτον κρατοῦσα ἐν νοΐ* καὶ μελέτην ἔχουσα* τοῦ Κυρίου τὴν κλῆσιν·* ὅθεν κεχαρίτωσαι, παρ' Αὐτοῦ Εὐφροσύνη* καὶ ἐγεγόνεις συμμοναστριῶν* καθηγουμένη καὶ μήτηρ φιλόστοργος.

Προκείμενον. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.*

Στ. *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ια' 27-30).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα. Ταῖς τῆς Σῆς Ὁσίας...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Δεῦτε τήν ἐν τῷ Πολότσκ* Εὐφροσύνην ἐν ὕμνοις* καί ᾠδαῖς τιμήσωμεν* οἱ αὐτῇ προσπίπτοντες* μετά πίστεως·* τῷ Θεῷ αὕτη γάρ* ὑπέρ λαοῦ ἅπαντος* μετά ζέσεως προσδέεται,* ἐπιδαψιλεύουσα* ἡμῖν τήν τοῦ Κυρίου ἀντίληψιν* καί Τούτου τήν σωτήριον* ἐπί τοῖς δεομένοις βοήθειαν·* χαίρε αὐτῇ βοῶντες* δοχεῖον τοῦ Κυρίου ἐκλεκτόν* καί τῆς Αὐτοῦ ὁμηγύρεως* μέλος τιμιώτατον.

Ὠδή ζ'. Οὐκ ἐλάτρευσαν.

Εὗρεν σύμμαχον,* Πολότσκ ἡ πόλις ἅγιον* τῆς Εὐφροσύνης Λείψανον,* πρός ὅ πάντες μαζηδόν* ἐν πίστει προστρέχουσι,* θερμῶς αἰτούμενοι* καί τυγχάνοντες* τοῦ ποθουμένου ἕκαστος,* τήν Εὐφροσύνην μακαρίζουσιν.

Τήν Ἀλήθειαν,* τήν ὄντως ὑπερέχουσαν,* πιστῶς κατηκολούθησας,* διό ζωήν ἀληθῶς * ἐν κόσμῳ ἐβίωσας,* Μῆτερ θεότιμε·* διό ὑμνοῦμεν σε,* τῶν Ὀρθοδόξων τό σύστημα* καί τήν μνήμην σου τελο ῦμεν.

Ἀνυμνοῦμεν σε·* πέλουσιν γάρ θαύματα,* τῆς σῆς μακαριότητος,* τῆς δόξης πειστήρια* ἥν ἀπολαύεις τά νῦν·* ὅθεν δεήθητι,* τυχεῖν ἡμᾶς τούς ὑμνοῦντας σε* οὐρανῶν κληρονομίας.

Θεοτοκίον.

Ἱερώτατον* Θεοῦ κατοικητήριον,* τερπνόν παλάτιον,* Σύ ὑπάρχεις Μαριάμ,* μή παύῃς δεόμεθα* πρός Σόν Υἱόν καί Θεόν,*

ἀναφέρεσθαι* καί ἱκετεύειν, Πανάχραντε·* σπεῦσον, Κυρία, ἀπολλύμεθα.

Ὠδή η'. Παῖδας εὐαγεῖς.

Αἰγύπτου ὁμωνύμου πᾶσαν δόξαν,* ἡ ταύτης ὁμώνυμος ἐζήλωσεν,* ἡ ἐν Πολότσκ ἀσκήσασα,* ἡ Εὐφροσύνη ἡ πάνσεμνος* καί ταύτην ὅλην ἐξάπαντος βεβαίαν ἔλαβεν·* ὅθεν αὐτῇ προσπίπτομεν,* ἐξαιτούμενοι ὑγεῖαν.

Νέμει κρουνηδόν ἡ Μῆτηρ χάριν,* πᾶσι τοῖς προστρέχουσι αὐτῆς τῷ θείῳ ναῷ,* τοῖς τε προσεγγίζουσι* αὐτῆς παντίμῳ λάρνακι·* διό Ῥωσίας κηρύττεται Ἁγίας πρόμαχος,* ἡμῶν δέ πάντων βοήθεια* καί θερμοτάτη ἀντίληψις.

Τόπος προσκυνήματος ἐδείχθη* ἡ λάρναξ ἡ πάντιμος τῆς θειοτάτης Μητρός* ἅμα καί θεόφρονος,* Λευκορωσίας οὔσης τό καύχημα,* τῆς Εὐφροσύνης, πρός ἥν προσπίπτομεν* τήν θεραπείαν αἰτούμενοι* αὐτῆς πρεσβείαις πρός Κύριον.

Θεοτοκίον.

Ὢ Σῆς ὡραιότητος Παρθένε,* ἣ πόθον τόν ἅγιον ἡμῖν διήγειρε,* ὑμνεῖν Σε τήν Θεόπαιδα,* τήν μόνην Ἀειπάρθενον,* δι' Ἧς Χριστός ἐπέφανεν* ἡμῖν καί ἐσκήνωσεν·* διό ψάλλομεν ὑμνοῦντες* τήν ἀκήρατον Αὐτοῦ Μητέρα δεόμενοι.

## Ὠδή θ΄. Ἅπας γηγενής.

Νέαν οἱ πιστοί* πηγήν τῶν ἰάσεων, σημείων τε εὕρομεν,* Μητρός θεῖα λείψανα,* πρός ἥν θερμῶς προσπίπτοντες* δάκρυσι κρούομεν αὐτῆς τήν θύραν* καί βοῶμεν·* Δεσπότην, Μῆτερ, ἱκέτευε* ὑπέρ τῶν πόθῳ τιμώντων σε.

Ἰάσεων πηγή* ἡ ἐν Πολότσκ δροσίζουσα παθῶν τόν καύσωνα,* Εὐφροσύνης λείψανον* ἐδείχθη πᾶσιν, διό βοήσωμεν* τῷ ταύτην δοξάσαντα Κυρίῳ ᾄδοντες·* δέχου Σῶτερ,* ὡς ἐλεήμων εὐσυμπάθητος,* τῆς μακαρίας τήν δέησιν.

Ὁ τὸ ἱερόν* κατέχων σκῆνός σου ναός, ἰάματα* ἀναβλύζει πάντοτε* τοῖς μετὰ πόθου αὐτῷ προστρέχουσι* καὶ τῆς Ῥωσίας πέφυκε μέγα θησαύρισμα*, Εὐφροσύνη, μυστικῶς κηρύττουσα,* οἵοις τρόποις Χριστός σε ἐδόξασεν.

Θεοτοκίον.

Ὕμνος Σοί Ἁγνή,* τῇ Κόρῃ προσφέρεται· ὁ βίος γάρ ὁ ἐμός* ἐν ἁμαρτίαις ἠνάλωται·* ὅθεν τῆς παῤῥησίας ὡς λειπόμενος,* πρός τόν Δεσπότην, τόν καί Φιλάνθρωπον,* τῆς μετανοίας πύλας μοι ἄνοιξον,* ὡς ἐν τέλει τῆς ζωῆς κἄν σωθήσομαι.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς* μακαρίζειν Σε τήν Θεοτόκον,* τήν ἀειμακάριστον καί παναμώμητον* καί μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τήν τιμιωτέραν τῶν Χερουβείμ* καί ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σερα

φείμ,* τήν ἀδιαφθόρως* Θεόν Λόγον τεκοῦσαν,* τήν ὄντως Θεοτόκον* Σέ μεγαλύνομεν.

Μεγαλυνάρια.

Χαίροις τῶν Ὁσίων ἡ καλλονή,* Ἄννα θεοφόρε,* τῆς Ῥωσίας ὁ στολισμός·* χαίροις Ὀρθοδόξου πληρώματος προστάτης·* πάντων τῶν Ὀρθοδόξων* εὐχαῖς σου πρόμαχος.

Χαῖροις ἡ Ῥωσίας γόνος λαμπρά,* Πολότσκ πολιοῦχε* καί θεόστεπτος βοηθός* πάντων Ὀρθοδόξων τῶν ἐπικαλουμένων* τήν σήν θερμήν πρεσβείαν* καί τ ήν ἀντίληψιν.

Μῆτερ γλυκυτάτη πάντων ἡμῶν,* τούς σοί προσφυγόντας* σπεῦσον τοῦ σῶσαι τῶν πονηρ οῦ* προσβολῶν ματαίων καί τείχισον εὐχαῖς σου* πάντας τούς Ὀρθοδόξους,* τούς ἀνυμνοῦντας σε.

Τούς ἀθροιζομένους τῇ σῇ Μονῇ* ἀοράτων πάντας* ὁρατῶν τε ἐπιβουλῆς,* ἡμᾶς τυραννούντων* δεόμεθα ῥυσθῆναι,* ὑπό τῆς χάριτός σου,* Μῆτερ ἀοίδημε.

Τά πεπυρωμένα ἐχθροῦ,* ἔνεδρα, παγίδας* διασκέδασον ἐξ ἡμῶν,* τῇ δυνάμει, Μῆτερ, τῇ ἐκ Θεοῦ δοθείσῃ,* ὅπως αὐτῶν ῥυσθέντες* σέ μεγαλύνωμεν.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τοῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,*

οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου,*
ποιήσατε πρεσβείαν* εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς,* πάσης γάρ ἀπολογίας ἀποροῦντες,* ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ,* οἱ ἁμαρτωλοί προσφέρομεν,* ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς,* ἐπί Σοί γάρ πεποίθαμεν.*
Μή ὀργισθῇς ἡμῖν σφόδρα,*
μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν,* ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος* καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.*
Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου,*
πάντες ἔργα χειρῶν Σου* καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε,*
ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσωμεν,*
ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων·*
Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα τῆς Ὁσίας καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε προσκυνήσωμεν πιστοί*
ἱεράν εἰκόνα καί θήκην* θείων λειψάνων τε,*
Εὐφροσύνης
μάκαρος, Πολότσκ ἀμύντορος* Λευκορωσίας
καί εἴπωμεν* αὐτῇ μελωδοῦντες,* χαῖρε
εὐωδέστατον δοχεῖον Πνεύματος,*
πρόμαχε Χριστοῦ Ἐκκλησίας,*
ἡμῶν δέ προστασία ἐν ἀνάγκαις,* πάντων Ὀρθοδόξων
ἡ ἀντίληψις.

Δέσποινα πρόσδεξαι* τάς δεήσεις τῶν δούλων Σου* καί λύτρωσαι ἡμᾶς* ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου, εἰς Σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου.

Δίστιχον·

*Δέχου τόν ὕμνον τοῦτον, Εὐφροσύνη θεία,*

*ὅν ὑπέρ πταισμάτων, Ἀντώνιος προσφέρει.*

